# VI. DIE BERGPREDIGT (nach Matthäus)

SERMO IN MONTE (secundum Matthaeum) THE SERMON ON THE MOUNT (According to Matthew)

## 50. Einleitung

Occasio sermonis *(cf. nr. 77)* Occasion of the Sermon

### Matth. 4,24-5,2
8,16-17; 14,35-36

*(nr. 40 4,23 p. 56)*

24 ⸋Καὶ ⸀ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ⸁ὅλην τὴν ⸀¹Συρίαν·⸌ καὶ προσήνεγκαν αὐτῷ ⸀²πάντας τοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους °[καὶ] ⸋¹δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικούς⸌, ⸂καὶ ἐθεράπευσεν αὐτούς⸃. 25 καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας
καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας
καὶ πέραν τοῦ Ἰορδάνου.

### Mark. 3,7-13a
1,32-34; 6,54-56

3,7-13a *(nr. 48. 49, p. 68. 70)*

7 Καὶ ὁ Ἰησοῦς μετὰ τῶν μαθητῶν αὐτοῦ ἀνεχώρησεν ⸀πρὸς τὴν θάλασσαν, καὶ ⸂πολὺ πλῆθος⸃ ἀπὸ τῆς Γαλιλαίας ⸄[ἠκολούθησεν], καὶ ἀπὸ τῆς Ἰουδαίας 8 καὶ ἀπὸ Ἱεροσολύμων⸅ ⸋καὶ ⸆ἀπὸ τῆς Ἰδουμαίας⸌ καὶ⸆ πέραν τοῦ Ἰορδάνου καὶ ⸆¹ περὶ Τύρον καὶ Σιδῶνα ⸂¹πλῆθος πολὺ⸃ ⸀ἀκούοντες ὅσα ⸁ἐποίει ἦλθον πρὸς αὐτόν. 9 καὶ εἶπεν τοῖς μαθηταῖς αὐτοῦ ἵνα ⸀πλοιάριον προσκαρτερῇ αὐτῷ διὰ τὸν ὄχλον ἵνα μὴ θλίβωσιν αὐτόν⸆·

10 πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε ἐπιπίπτειν αὐτῷ ἵνα αὐτοῦ ἅψωνται ⸆ ὅσοι εἶχον ⸀μάστιγας. 11 καὶ °τὰ πνεύματα °τὰ

### Luk. 6,17-20a
4,40-41; 6,12

6,17-20a *(nr. 77, p. 101)*

17 καὶ καταβὰς μετ' αὐτῶν ἔστη ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος °πολὺς μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ ⸋τοῦ λαοῦ⸌
ἀπὸ °¹πάσης τῆς Ἰουδαίας καὶ ⸂Ἰερουσαλὴμ
⸆ καὶ τῆς παραλίου ⸆Τύρου καὶ Σιδῶνος, 18 οἳ ἦλθον⸃ ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ ⸆ τῶν νόσων αὐτῶν·

καὶ οἱ ἐνοχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων ἐθεραπεύοντο⸆, 19 καὶ πᾶς ὁ ὄχλος ⸂ἐζήτουν ἅπτεσθαι⸃ αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας.

### Joh.

---

Matth.: 24 ⸋sy^s | ⸀εξηλθ- ℵ C f^1 33. 205. 892. 1506 *pc* | ⸁πασαν ℵ *pc* | ⸀¹συνοριαν Γ ¦ ⸀²πολλους sy^s | ° B C* f^13 892 *pc* ¦ *txt* ℵ C^2 D W f^1 33. 1006. 1506 𝔐 latt sa mae | ⸋¹sy^s | ⸂κ. παντας εθερ. D it sy^s.c ¦ – k

Mark.: 7 ⸀εις D H 205. 209. 579. 1506. 2542 *al* ¦ παρα f^13 1424 *pc* | ⸂πολυς οχλος D (sy^s) ● 7.8 ⸄2 4–8 D (f^13) *pc* it (sy^s) bo^pt (*id., sed pon.* ηκολουθουν αυτω *p.* Σιδωνα W b c) ¦ *2–5* ηκολουθησαν *6–8* ℵ C (Δ, 33, 1342, 2542) *pc* (vg) ¦ ηκολουθησαν αυτω *2–8* E F (G) H 13. 346. 543. 579. (983). 1006. 1424. 1506^vid *pm* (sy^h) sa (bo^pt) ¦ ηκ-σεν αυτω *6–8 2–5* f^1 205 *pc* ¦ ηκ-σεν αυτω *2–8* A 700. 892 *pm* ¦ *txt* B L (ʃ Θ) 565. 2427 *pc* ● 8 ⸋*p)* ℵ* W Θ f^1 205. 2542 *pc* c sy^s | ⸆πολυς πληθος sa | ⸆οι D 209 f | ⸆¹οι A D Θ f^1.13 33. 1006. 1342. 1506 𝔐 (lat bo) sy^h ¦ *txt* ℵ B C L W Δ 892. 983. 2427 sa | ⸂¹και πλ. π. f^1 205 ¦ – W a b c sy^s | ⸀-σαντες A C D L Θ 1006. 1342. 1506 [E F G H 579. 700. (1424). 2542] 𝔐 | ⸁ποιει B L 892. 2427 sa bo^pt ¦ *txt* ℵ A C D W Θ f^1.13 33. 1006. 1342. 1506 𝔐 lat sy^h bo^pt ● 9 ⸀-ρια B 2427 sa | ⸆πολλοι D (ʃ a) i ¦ οι οχλοι f^13 *pc* (ff^2) ● 10 ⸆και A *pc* f sy^s.p | ⸀ασθενειας Θ ● 11 °*bis* D Θ f^13 *pc*

Luk.: 17 ° A D Θ Ψ f^13 33. 1006. 1342. 1506 [E Q Δ 565. 700. 1424] 𝔐 latt sy^s.h bo | ⸋ℵ* f^1 205 l | °¹sa | ⸆και της περαιας (ℵ*) W ff^2 sy^s ¦ et trans fretum it vg^mss | ⸆και l vg sy^s sa^ms bo^ms ● 17.18 ⸂αλλων πολεων εληλυθοτων D ● 18 ⸆πασων d sy^s | ⸆απαντες 69 l ● 19 ⸂εζητει απτεσθαι (-ψασθαι D) A D Θ f^1.13 33. 892. 1006. 1342. 1506 𝔐 a aur c q vg^cl ¦ *txt* 𝔓^75 ℵ B L T W Ψ 579 *pc* lat

---

^1sqq cf 30sqq. 42sqq || ^5sq (Mt) cf Mt 8,28; 17,15; 8,6; 9,2 etc || ^5sq (Lc) cf 26 || ^6 cf 34sq || ^9 (Mt) cf Mc 5,20; 7,31 || ^10 Ἱεροσόλυμα: Mc, Mt (exc. 23,37), Jo; Ἰερουσαλήμ: Paulus (exc. Gl 1,17sq; 2,1), Heb, Apc; Lc Ἱεροσ./Ἰερουσ. || ^15sq cf Mc 4,1 et par *(= nr 122)*; Jo 6,22 || ^18sqq cf 49sqq || ^20 (Mc) cf Mc 5,29. 34; Lc 7,21

| [Matth. 4,24-5,2] | [Mark. 3,7-13a] | [Luk. 6,17-20a] | Joh. |
|---|---|---|---|
| 5 1 Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος, καὶ καθίσαντος αὐτοῦ προσῆλθαν °αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· 2 ⸂καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων⸃· | ἀκάθαρτα, □ὅταν αὐτὸν ⸂ἐθεώρουν,⸃ προσέπιπτον αὐτῷ καὶ ἔκραζον λέγοντες⸌ °ὅτι σὺ εἶ ⸆ ὁ υἱὸς τοῦ θεοῦ. 12 καὶ °πολλὰ ἐπετίμα αὐτοῖς ἵνα μὴ ⸉αὐτὸν φανερὸν⸊ ⸀ποιήσωσιν⸆. 13 Καὶ ⸀ἀναβαίνει εἰς τὸ ὄρος ... | 20 Καὶ °αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς °¹αὐτοῦ ἔλεγεν· | |
| 8,16-17 *(nr. 88, p. 117)* | 1,32-34 *(nr. 38, p. 55)* | 4,40-41 *(nr. 38, p. 55)* | |
| 16 Ὀψίας δὲ γενομένης προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλούς· καὶ ἐξέβαλεν τὰ πνεύματα λόγῳ καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν, 17 ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσαΐου τοῦ προφήτου λέγοντος· αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβεν καὶ τὰς νόσους ἐβάστασεν. | 32 Ὀψίας δὲ γενομένης, ὅτε ἔδυ ὁ ἥλιος, ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας καὶ τοὺς δαιμονιζομένους· 33 καὶ ἦν ὅλη ἡ πόλις ἐπισυνηγμένη πρὸς τὴν θύραν. 34 καὶ ἐθεράπευσεν πολλοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις καὶ δαιμόνια πολλὰ ἐξέβαλεν καὶ οὐκ ἤφιεν λαλεῖν τὰ δαιμόνια, ὅτι ᾔδεισαν αὐτόν. | 40 Δύνοντος δὲ τοῦ ἡλίου ἅπαντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις ἤγαγον αὐτοὺς πρὸς αὐτόν· ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιτιθεὶς ἐθεράπευεν αὐτούς. 41 ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν κρ[αυγ]άζοντα καὶ λέγοντα ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ. καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν τὸν χριστὸν αὐτὸν εἶναι. | |
| 14,35-36 *(nr. 148, p. 211)* | 6,54-56 *(nr. 148, p. 211)* | | |
| 35 Καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας 36 καὶ παρεκάλουν αὐτὸν ἵνα μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι ἥψαντο διεσώθησαν. | 54 Καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου εὐθὺς ἐπιγνόντες αὐτὸν 55 περιέδραμον ὅλην τὴν χώραν ἐκείνην καὶ ἤρξαντο ἐπὶ τοῖς κραβάττοις τοὺς κακῶς ἔχοντας περιφέρειν ὅπου ἤκουον ὅτι ἐστίν. 56 καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας ἢ εἰς πόλεις ἢ εἰς ἀγρούς, ἐν ταῖς ἀγοραῖς ἐτίθεσαν τοὺς ἀσθενοῦντας καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται· καὶ ὅσοι ἂν ἥψαντο αὐτοῦ ἐσῴζοντο. | 6,12 *(nr. 49, p. 70)* 12 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις ἐξελθεῖν αὐτὸν εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ θεοῦ. | |

Matth.: 1 °B *pc* ● 2 ⸂και ηρξατο λεγειν αυτοις sy^s

Mark.: 11 □sy^s ¦ ⸂εθεωρει, προσεπιπτεν α. και εκραζεν λεγοντα E H 700. 1006 *pm* ¦ εθ-ρει, πρ-πτον (-πτεν *f*¹ 205. 1506) α. κ. εκραζον λεγοντα (-ντες 1506) A F *f*¹ 205. 1506 *pm* ¦ *ut txt, sed* λεγοντα B C G L Δ Θ *f*¹³ 33. 565. 892. 1342. 2427. 2542 *pm* ¦ *txt* ℵ D (W) 69. 579 *pc* ¦ °D W lat sy^s.p ¦ ⸆ο Χριστος C (69). 1424 *pc* sy^h** sa^ms bo^ms ● 12 °W 1424 it ¦ ⸉A L 1006. 1342. 1506 𝔐 ¦ *txt* ℵ B C D W Δ Θ *f*^1.13 33. 205. 565. 892. 2427. 2542 *pc* ¦ ⸀ποιωσιν B² D L W *f*¹³ 579. 892. 1342 *pc* ¦ ⸆*p)* οτι ηδεισαν τον Χριστον αυτον ειναι C 565^c *pc* ● 13 ⸀αναβας W

Luk.: 20 °D e bo^ms ¦ °¹D *pc* ff²

*22sqq* cf *39sqq* ‖ *26* cf Mt 15,29; 24,3; cf *5sq(Lc). 52sqq* ‖ *27sq* cf Mt 10,1 ¦ Act 8,35; 10,34; Dn 10,16; Job 3,1 etc ‖ *28(Lc)* cf Jo 6,5; 11,41; 17,1 ‖ *30sqq* cf *1sqq* ‖ *34sq* cf *6* ‖ *39sqq* cf *22sqq* ‖ *42sqq* cf *1sqq* ‖ *49sqq* cf *18sqq* ‖ *52sqq* cf *26*

# 51. Die Seligpreisungen

**Beatitudines** *(cf. nr. 78)* **The Beatitudes**

| **Matth. 5,3-12** | Mark. | Luk. 6,20b-23 *(nr. 78, p. 102)*<br>6,24-26 *(nr. 79, p. 104)* | Joh. |
| --- | --- | --- | --- |
| [3]Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι,<br>ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. | | [20b]Μακάριοι οἱ πτωχοί⸆,<br>ὅτι ⸀ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. | |
| [4]⸂μακάριοι οἱ πενθοῦντες⸆,<br>ὅτι αὐτοὶ παρακληθήσονται. | | [[24]Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις,<br>ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν.] | |
| [5]μακάριοι οἱ πραεῖς,<br>ὅτι αὐτοὶ κληρονομήσουσιν τὴν γῆν.⸃ | | | |
| [6]⸋μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην,<br>ὅτι αὐτοὶ χορτασθήσονται.⸌ | | [21]μακάριοι οἱ πεινῶντες °νῦν,<br>ὅτι ⸀χορτασθήσεσθε. | |
| | | [[25]οὐαὶ ὑμῖν, οἱ ἐμπεπλησμένοι νῦν,<br>ὅτι πεινάσετε.] | |
| | | ⸋μακάριοι οἱ κλαίοντες °νῦν,<br>ὅτι ⸁γελάσετε⸌. | |
| [7]μακάριοι οἱ ἐλεήμονες,<br>ὅτι αὐτοὶ ἐλεηθήσονται. | | [[25b]οὐαί, οἱ γελῶντες νῦν,<br>ὅτι πενθήσετε καὶ κλαύσετε.] | |
| [8]μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ,<br>ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. | | | |
| [9]μακάριοι οἱ εἰρηνοποιοί,<br>ὅτι °αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. | | | |
| [10]μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν⸆ δικαιοσύνης,<br>ὅτι αὐτῶν ⸀ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. | | | |
| [11]μακάριοί ἐστε<br>ὅταν⸆ ⸂ὀνειδίσωσιν ὑμᾶς καὶ ⸀διώξωσιν⸃ καὶ εἴπωσιν ⸂¹°πᾶν πονηρὸν⸆ καθ' ὑμῶν⸃ °¹[ψευδόμενοι] ἕνεκεν ⸀ἐμοῦ. | | [22]μακάριοί ⸀ἐστε ὅταν μισήσωσιν ὑμᾶς⸆ οἱ ἄνθρωποι ⸋καὶ °ὅταν ἀφορίσωσιν °¹ὑμᾶς⸌ καὶ ⸂ὀνειδίσωσιν καὶ ἐκβάλωσιν⸃ τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου· | |

---

Matth.: 4.5 ⸂ (*vss* 5.4) D 33 lat sy^c bo^ms; Cl Or ● 4 ⸆νυν ℵ¹ 33. 892 *pc* aur vg^mss sa^ms bo ● 6 [⸋*vs* Wellhausen *cj*] ● 9 °ℵ C D *f*¹³ *pc* it vg^cl.st sy^p; Did ¦ *txt* B W Θ *f*¹ 33. 892. 1006. 1342. 1506 𝔐 f k vg^ww sy^s.c.h co ● 10 ⸆της C ǀ ⸀εσται D ● 11 ⸆οι ανθρωποι 0133 (aur* g¹ q vg^s) sy^s.c ǀ ⸂*4 2 3 1* D (33) h k (sy^c) mae bo ǀ ⸀-ξουσιαν ℵ (D) W Δ Θ *f*¹³ 1006 *pc* ǀ ⸂¹D h k ǀ °sy^s ǀ ⸆ρημα C W Θ *f*¹·¹³ 33. 892. 1006. 1342. 1506 𝔐 q sy^p.h mae; Or ¦ *txt* ℵ B (D) lat sy^s.c sa bo; Tert ǀ °¹D it sy^s; Tert ¦ *txt rell* ǀ ⸀δικαιοσυνης D it ¦ (L 21,12) του ονοματος μου sy^s.c

Luk.: 20 ⸆*p)* τω πνευματι ℵ² Q Θ *f*¹·¹³ 33. 205. 579. 2542 *al* it vg^mss bo^pt ǀ ⸀*p)* αυτων W ff² sy^s sa bo^ms; Mcion ● 21 °*bis* Mcion Eus ǀ ⸀*p)* -σονται ℵ* 69 *pc* it sy^s sa^ms; Mcion ǀ ⸋D ǀ ⸁-σουσιν W e sy^s sa^mss; Mcion ● 22 ⸀εσεσθε Θ lat; Mcion ǀ ⸆παντες sa^mss ǀ ⸋2542; Mcion ǀ °W ǀ °¹𝔓^75vid D ǀ ⸂D it

---

^1sq *cf 41* ‖ ^1cf Is 61,1; 57,15; Ps 33,19 LXX; Sir 25,9-12; 1Cor 1,27sq; Jc 2,5 ǀ πτωχοί: Mt 11,5 = Lc 7,22 *(nr 106)*; Mt 19,21 = Mc 10,21 = Lc 18,22 *(nr 254)*; Mt 26,11 = Mc 14,7 *(nr 306)*; Mc 12,43 = Lc 21,3 *(nr 286)*; Mt 26,9 = Mc 14,5 *(nr 306)*; Lc 4,18; 14,13.21; 16,20.22; 19,8; Jo 12,5sq; 13,29 ǀ μακάριος ... cf Mt 13,16; Lc 10,23; Mt 16,17; Lc 1,45; Mt 24,46; Lc 12,43; Lc 14,14sq; Mt 11,6 = Lc 7,23 *(nr 106)*; Lc 11,28; Jo 20,29; 13,17; Lc 11,27; 23,29; *cf 30.31* ǀ *cf 39* ‖ ^2cf Ps 9,13; 35,10; Is 49,13; Mt 19,14 = Mc 10,14 = Lc 18,16 *(nr 253)* ǀ βασιλεία τῶν οὐρανῶν = Mt (exc 6,33 app; 12,28; 19,24; 21,31.43); βασιλεία τοῦ θεοῦ = Mc, Lc, Paulus; β. τῶν οὐρανῶν = β. τοῦ θεοῦ? cf Mt 4,17 = Mc 1,15 *(nr 32)*; Mt 10,7 = Lc 9,2 *(nr 99)*; Mt 11,11 = Lc 7,28 *(nr 107)*; Mt 13,11 = Mc 4,11 = Lc 8,10 *(nr 122)*; Mt 19,14 = Mc 10,14 = Lc 18,16 *(nr 253)* etc ‖ ^3sq cf Is 61,2sq; Ps 126,5sq; Apc 7,16sq; Lc 16,25; 2,25; *cf 11sq* ‖ ^5sq cf Ps 37,11; Mt 11,29; *cf 33.40* ‖ ^6cf Rm 4,13; Gn 15,7; Dt 4,38; 49,10; *cf 34* ‖ ^7cf Ps 107,5sqq; Am 8,11; Sir 24,28sq (21sq); Is 55,1 etc; Jr 31,25 (LXX 38,25); Bar 2,18 ‖ ^7sq *cf 42* ‖ ^8cf Prv 21,20 ‖ ^11sq *cf 3sq* ‖ ^13sq cf Jc 2,13; Mt 18,33; Prv 14,21; 17,5c LXX; *cf 36sq.38sq* ‖ ^15cf Ps 24,4; 51,12; 73,1; Eph 6,5; Kol 3,22 ‖ ^16cf 1Jo 3,2sq; Apc 22,4 ‖ ^17cf Heb 12,14; Jc 3,18; Ps 34,15; Prv 10,10 LXX; Mt 5,23sq; Mc 9,50 ‖ ^18cf Dt 14,1; Hos 2,1; Ps Sal 17,30; Mt 5,19.45; Mc 11,17; Lc 20,36 ‖ ^19sq cf Jc 1,2; 1Pt 3,14; *cf 30.31.3°*; *cf 42* ‖ ^21sqq cf Mt 10,22; Is 51,7; Jo 16,2; Act 5,41; Jc 2,7; 1Pt 4,14; *cf 30.31*

| [Matth. 5,3-12] | Mark. | [Luk. 6,20b-23] | Joh. |
| --- | --- | --- | --- |
| 12 χαίρετε καὶ ἀγαλλιᾶσθε⸆, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν ⸂τοῖς οὐρανοῖς⸃· οὕτως γὰρ ἐδίωξαν τοὺς προφήτας ⸋τοὺς πρὸ ὑμῶν⸌ ⸆. | | 23 ⸋χάρητε ἐν ἐκείνῃ τῇ ⸀ἡμέρᾳ καὶ σκιρτήσατε, ⸂ἰδοὺ γὰρ⸃ ὁ μισθὸς ὑμῶν πολὺς ἐν ⸄τῷ οὐρανῷ⸅·⸌ κατὰ ⸂¹τὰ αὐτὰ⸃ °γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν. | |
| | | [26 οὐαὶ ὅταν ὑμᾶς καλῶς εἴπωσιν πάντες οἱ ἄνθρωποι· κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν.] | |

**1. Petr. 3,14:** Ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι. τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε μηδὲ ταραχθῆτε.

**1. Petr. 4,14:** Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι, ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται.

**Barn. ep. 19,4:** Οὐ πορνεύσεις, οὐ μοιχεύσεις, οὐ παιδοφθορήσεις. οὐ μή σου ὁ λόγος τοῦ θεοῦ ἐξέλθῃ ἐν ἀκαθαρσίᾳ τινῶν. οὐ λήμψῃ πρόσωπον ἐλέγξαι τινὰ ἐπὶ παραπτώματι. ἔσῃ πραΰς, ἔσῃ ἡσύχιος, ἔσῃ τρέμων τοὺς λόγους, οὓς ἤκουσας. οὐ μνησικακήσεις τῷ ἀδελφῷ σου.

**Clemens Alex.** (Protrepticus X,94,4): Ὅθεν ἡ γραφὴ εἰκότως εὐαγγελίζεται τοῖς πεπιστευκόσιν· »οἱ δὲ ἅγιοι κυρίου κληρονομήσουσι τὴν δόξαν τοῦ θεοῦ καὶ τὴν δύναμιν αὐτοῦ«.

**1. Clem. ad Cor. 13,2:** Οὕτως γὰρ εἶπεν· »Ἐλεᾶτε, ἵνα ἐλεηθῆτε· ἀφίετε, ἵνα ἀφεθῇ ὑμῖν· ὡς ποιεῖτε, οὕτω ποιηθήσεται ὑμῖν· ὡς δίδοτε, οὕτως δοθήσεται ὑμῖν· ὡς κρίνετε, οὕτως κριθήσεσθε· ὡς χρηστεύεσθε, οὕτως χρηστευθήσεται ὑμῖν· ᾧ μέτρῳ μετρεῖτε, ἐν αὐτῷ μετρηθήσεται ὑμῖν«.

**Polycarpus ad Phil. 2,3:** Μνημονεύοντες δὲ ὧν εἶπεν ὁ κύριος διδάσκων· »Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· ἀφίετε, καὶ ἀφεθήσεται ὑμῖν· ἐλεᾶτε, ἵνα ἐλεηθῆτε· ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν«· καὶ »ὅτι μακάριοι οἱ πτωχοὶ καὶ οἱ διωκόμενοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τοῦ θεοῦ«.

**Didache 3,7:** Ἴσθι δὲ πραΰς, ἐπεὶ »οἱ πραεῖς κληρονομήσουσι τὴν γῆν«.

**Evang. Thomae copt.:** *cf. Append. I, 54*

**Evang. Thomae copt.:** *cf. Append. I, 68/69*

Matth.: 12 ⸆*p)* εν εκεινη τη ημερα sy$^{s.c}$ | ⸂τω -νω D *pc* it | ⸋sy$^{s}$ | ⸆υπαρχοντας D (D* -χοντων) *ex* lat? bo? ¦ οι πατερες αυτων U b c (k) sy$^{s.(c)}$
Luk.: 23 ⸋Mcion | ⸀ωρα 579 a sy$^{s}$ | ⸂*p)* οτι D sy$^{s.p}$ | ⸄τοις -οις B *f*$^{13}$ 579. 1424 *pc* e f | ⸂¹ταυτα ℵ A L Θ *f*$^{1.13}$ 33*. 1006. 1342. 1506 𝔐 lat sy$^{h}$ ¦ *txt* 𝔓$^{75}$ B D Q W Ξ Ψ 0147 33$^{c}$. 892 *pc* c e bo | ° 1424 a ff$^{2}$ l bo$^{ms}$; Mcion

$^{24sq}$cf Rm 5,3; Jc 1,2; 1Pt 1,6; 4,13; Apc 22,12 ‖ $^{25sq}$cf Gn 15,1; Heb 11,33sqq | Mt 23,30; Act 7,52; Jc 5,10sq ‖ $^{30}$*cf 1.19sq. 21sqq* ‖ $^{31}$*cf 1.19sq. 21sqq* ‖ $^{33}$*cf 5* ‖ $^{34}$*cf 6* ‖ $^{36sq}$*cf 13sq* ‖ $^{38sq}$*cf 1sq. 13sq. 19sq* ‖ $^{40}$*cf 5sq* ‖ $^{41}$*cf 1sq* ‖ $^{42}$*cf 7sq. 19sq*

## 52. Gleichnis vom Salz

**Sal terrae** *(cf. nr. 218)* **The Salt of the Earth**

| Matth. 5,13 | Mark. 9,49-50 *(nr. 168, p. 249)* | Luk 14,34-35 *(nr. 218, p. 304)* | Joh. |
| --- | --- | --- | --- |
| 13 Ὑμεῖς ἐστε τὸ ⸀ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ⸁ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει °ἔτι εἰ μὴ ⸂βληθὲν ἔξω⸃ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. | 49 ⸂Πᾶς γὰρ πυρὶ ἁλισθήσεται.⸃ 50 καλὸν τὸ ⸀ἅλας· ἐὰν δὲ τὸ ⸀ἅλας ⸂ἄναλον γένηται⸃, ἐν τίνι αὐτὸ ⸁ἀρτύσετε; ⸄ἔχετε ἐν ἑαυτοῖς⸅ ἅλα καὶ εἰρηνεύετε ἐν ἀλλήλοις. | 34 Καλὸν °οὖν τὸ ⸀ἅλας· ἐὰν δὲ °¹καὶ τὸ ⸀ἅλας ⸁μωρανθῇ, ἐν τίνι ⸀¹ἀρτυθήσεται; 35 οὔτε εἰς ⸆ γῆν οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν, ἔξω βάλλουσιν αὐτό. ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. | |

Matth.: 13 ⸀αλα ℵ* D* W | ⸁αλα ℵ B$^{2}$ W; Or | °D W it sy$^{s.c.p}$; Cyp | ⸂-θηναι εξω και D W Θ *f*$^{13}$ 1006. 1342. 1506 𝔐 ¦ *txt* (𝔓$^{86}$) ℵ B C *f*$^{1}$ 33. 205. 892 *pc*
Mark.: 49 ⸂(Lv 2,13) πασα γαρ θυσια αλι αλισθησεται D it ¦ πας γ. π. (εν π. C) αλ- (αναλωθησεται Θ) και πασα θυσια αλι αλισθησεται (αναλωθησεται Ψ) A C Θ Ψ 892. 1506 𝔐 lat sy$^{p.h}$ bo$^{pt}$ ¦ *txt* B L Δ 0274 *f*$^{1.13}$ 205. 565. 700. 1006. 2427 *pc* sy$^{s}$ sa bo$^{pt}$ (ℵ 1342: εν π.; W: αλισγηθησεται); Did • 50 ⸀*bis* αλα ℵ(*) L W Δ 0274. 892. 1342 *pc* | ⸂*p)* μωρανθη W 579 (sy$^{s}$) ¦ αν. γενησεται D | ⸁αρτυσεται A C D H L Θ 579 *pc* ¦ αρτυσηται W Δ *f*$^{13}$ *pc* ¦ αρτυθησεται *f*$^{1}$ *pc* f bo$^{mss}$ | ⸄υμεις ουν εν εαυτ. εχ. W (*f*$^{13}$ 565) *pc* sa$^{ms}$
Luk.: 34 °A D W Ψ *f*$^{1}$ 1006. 1342. 1506 𝔐 latt sy sa$^{mss}$ bo$^{pt}$ ¦ *txt* 𝔓$^{75}$ ℵ B L Θ *f*$^{13}$ 579. 892 *pc* bo$^{pt}$ | ⸀(*bis*) αλα (𝔓$^{75}$) ℵ* D W | °¹ 𝔓$^{75}$ A W *f*$^{1.13}$ 892. 1006. 1342. 1506 𝔐 e vg$^{cl}$ sy$^{s.c.h}$ co ¦ *txt* ℵ B D L Θ Ψ 0233. 579 *pc* a r$^{1}$ sy$^{p}$ sa$^{ms}$ | ⸁μαρ- 69 *pc* lat | ⸀¹*p)* αλισθησεται *f*$^{1}$ 205 *pc* d • 35 ⸆την 𝔓$^{75}$ D 69 *pc*

$^{1sqq}$cf Lv 2,13; 1Cor 3,13; Kol 4,6 ‖ $^{7}$cf Heb 12,14; Ps 34,15; Mt 5,9; Rm 12,18; 14,19; 1Th 5,13; 2Cor 13,11 ‖ $^{7(Lc)}$cf Mt 11,15; 13,9.43 par; 25,29 app; Mc 7,16 app; Lc 12,21 app; 21,4 app; Apc 2,7 etc; cf Evang. Thomae copt., *Append. I, 8, 21, 24, 63, 65, 96*

## 53. Gleichnis vom Licht

**Lux mundi** *(cf. nr. 125)* **The Light of the World**

### Matth. 5,14-16

[14] Ὑμεῖς ἐστε τὸ φῶς ⸂τοῦ κόσμου⸃. οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· [15] οὐδὲ καίουσιν λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ. [16] οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ °ἔργα καὶ δοξάσωσιν τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

### Mark. 4,21
*(nr. 125, p. 179)*

[21] Καὶ ⸂ἔλεγεν αὐτοῖς· ⸆ μήτι ⸀ἔρχεται ὁ λύχνος⸃ °ἵνα ὑπὸ τὸν μόδιον ⸀τεθῇ ἢ ὑπὸ τὴν κλίνην; ⸀[1]οὐχ ἵνα ⸀[2]ἐπὶ τὴν λυχνίαν ⸀[3]τεθῇ;

### Luk. 8,16
11,33

8,16 *(nr. 125, p. 179)*

[16] Οὐδεὶς °δὲ λύχνον ἅψας καλύπτει αὐτὸν σκεύει ἢ ὑποκάτω ⸆ κλίνης τίθησιν, ἀλλ᾽ ἐπὶ ⸂λυχνίας ⸀τίθησιν, □ἵνα οἱ εἰσπορευόμενοι βλέπωσιν τὸ φῶς⸃.

11,33 *(nr. 192, p. 275)*

[33] Οὐδεὶς λύχνον ἅψας εἰς κρύπτην τίθησιν [οὐδὲ ὑπὸ τὸν μόδιον] ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τὸ φῶς βλέπωσιν.

### Joh. 8,12
*(nr. 243, p. 326)*

[12] Πάλιν οὖν αὐτοῖς ἐλάλησεν ὁ Ἰησοῦς λέγων· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ᾽ ἕξει τὸ φῶς τῆς ζωῆς.

---

**Justinus Mart., Apol. I, 16, 1–2:** [1] Περὶ δὲ τοῦ ἀνεξικάκους εἶναι καὶ ὑπηρετικοὺς πᾶσι καὶ ἀοργήτους ἃ ἔφη ταῦτά ἐστι· »Τῷ τύπτοντί σου τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην, καὶ τὸν αἴροντά σου τὸν χιτῶνα ἢ τὸ ἱμάτιον μὴ κωλύσῃς. [2] Ὃς δ᾽ ἂν ὀργισθῇ, ἔνοχός ἐστιν εἰς τὸ πῦρ. Παντὶ δὲ ἀγγαρεύοντί σε μίλιον ἀκολούθησον δύο. Λαμψάτω δὲ ὑμῶν τὰ καλὰ ἔργα ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα βλέποντες θαυμάζωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς«.

**Pap. Oxyrhynch. 1 nr. 7:** Λέγει Ἰ(ησοῦ)ς· πόλις οἰκοδομημένη ἐπ᾽ ἄκρον [ὄ]ρους ὑψηλοῦς καὶ ἐστηριγμένη οὔτε πε[σ]εῖν δύναται οὐδὲ κρυ[β]ῆναι. *(cf. Evang. Thomae copt., Append. I, 32)*

**Evang. Thomae copt.:** *cf. Append. I, 33*

---

Matth.: **14** ⸂ huius mundi a aur b (c g[1]) h q ● **16** °B*

Mark.: **21** ⸂ λεγει αυτοις· μητι ο λ. καιεται W | ⸆ οτι B L 892. 2427 sy ¦ ιδετε *f*[13] *pc* ¦ *txt* ℵ A C D W Θ *f*[1] 33. 1006. 1342. 1506 𝔐 latt | ⸀ απτεται D (W *f*[13]) it sa[ms] bo[pt] | ° *et* ⸀ τεθηναι ℵ* | ⸀[1] *p)* αλλ W *pc* b (c e) q ¦ και ουχ D (ff[2] i r[1]) | ⸀[2] υπο ℵ B* *f*[13] 33 *pc* | ⸀[3] επιτ- A *f*[1] 1006 [E F G H 205] 𝔐

Luk.: **16** °Θ 346. 579[vid]. 1006. 1506 *al* e sy sa[mss] bo | ⸆ της D 346 bo[ms] | ⸂ *p)* την λ-ιαν ℵ D (Θ Ψ 579. 700. 1342) 346. 983. 1424. 2542 *al* sa bo[pt] | ⸀ επιτιθ- A W Ψ 33. 1006. 1506 𝔐 ¦ – 983 *pc* ¦ *txt* 𝔓[75] ℵ B D F L Θ Ξ 070 *f*[1.13] 205. 579. 892. 1342. 1424. 2542 *al* | □ 𝔓[75] B *pc*

---

[1] cf Is 42,6; 49,6; 60,1.3; Rm 2,19; Ph 2,15; Eph 5,8sq; Jo 12,35sq; *cf 8sq* || [2sq] *cf 22sq* || [3sqq] *cf 14sqq. 24* || [6sqq] *cf 20sq* || [8sqq] *cf ad 1* || [10sqq] cf 1Pt 2,12 || [11sq] cf Ps 22,23sq; 86,9; Sap 18,13 || [14] *cf 3sqq* || [18sq] Lc 6,29; Mt 5,22.41 || [20sq] *cf 6sqq* || [22] *cf 2sq* || [24] *cf 3sqq*

## 54. Vom Gesetz und den Propheten

**Legis adimpletio** *(cf. nr. 226)* **On the Law and the Prophets**

### Matth. 5,17-20
24,35

17 Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι. 18 ἀμὴν γὰρ λέγω ὑμῖν· ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου⸆, ἕως °ἂν ⸉πάντα γένηται⸊⸆. 19 ὃς °ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων °¹τῶν ἐλαχίστων καὶ διδάξῃ °²οὕτως τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ⸋ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ⸆, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.⸌ 20 ⸋Λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ ⸀περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.⸌

*24,35 (nr. 293, p. 405)*
35 Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.

### Mark. 13,31

*13,31 (nr. 293, p. 405)*
31 Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρελεύσονται.

### Luk. 16,16-17
21,33

16,16-17 *(nr. 226, p. 309)*
16 Ὁ νόμος καὶ οἱ προφῆται ⸀μέχρι Ἰωάννου⸆· ⸂ἀπὸ τότε⸃ ἡ βασιλεία τοῦ θεοῦ εὐαγγελίζεται ⸋καὶ πᾶς εἰς αὐτὴν βιάζεται⸌⸆. 17 εὐκοπώτερον δέ ἐστιν τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν ἢ ⸂τοῦ νόμου⸃ ⸉μίαν κεραίαν⸊ πεσεῖν.

*21,33 (nr. 293, p. 405)*
33 Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρελεύσονται.

### Joh.

**Evang. Ebion.** (Epiphanius, Panarion haer. 30,16,5): »Ἦλθον καταλῦσαι τὰς θυσίας, καὶ ἐὰν μὴ παύσησθε τοῦ θύειν, οὐ παύσεται ἀφ᾽ ὑμῶν ἡ ὀργή«.

**Evang. sec. Aegyptios** (Clemens Alex., Strom. III,9,63): »Ἦλθον καταλῦσαι τὰ ἔργα τῆς θηλείας«. *(cf. nr. 253)*

**Pap. Oxyrhynch. 1 nr. 2:** Λέγει Ἰ(ησοῦ)ς· ἐὰν μὴ νηστεύσηται τὸν κόσμον οὐ μὴ εὕρηται τὴν βασιλείαν τοῦ θ(εο)ῦ· καὶ ἐὰν μὴ σαββατίσητε τὸ σάββατον οὐκ ὄψεσθε τὸν π(ατέ)ρα. *(cf.* Evang. Thomae copt., *Append. I, 27)*

**Evang. Thomae copt.:** *cf. Append. I, 11*

**Herm. Pastor, Sim. IX,12,3:** Ὅτι, φησίν, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τῆς συντελείας φανερὸς ἐγένετο, διὰ τοῦτο καινὴ ἐγένετο ἡ πύλη, ἵνα οἱ μέλλοντες σώζεσθαι δι᾽ αὐτῆς »εἰς τὴν βασιλείαν εἰσέλθωσι τοῦ θεοῦ«. (Sim. IX,12,4-5 *vide ad nr. 255*)

**Justinus Mart., Dial. 105,6:** ... ταῦτα εἰρηκέναι ἐν τοῖς ἀπομνημονεύμασι γέγραπται· »Ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν«.

---

**Matth.:** 18 ⸆και των προφητων Θ *f*[13] 565. 1342 *al*; Ir[lat] | °B* *pc* | ⸉D sa | ⸆caelum et terra transibunt, verba autem mea non praeteribunt c ● 19 °D* | °¹D Δ 1506 | °²D | ⸋ℵ* D W 579 bo[ms] ¦ ⸆ουτως it sy[s] ● 20 ⸋*vs* D | ⸀-σει L Θ *pc* ¦ πλεοναση Cl

**Luk.:** 16 ⸀εως A D W Θ Ψ 1006. 1342. 1506 𝔐 ¦ *txt* 𝔓[75] ℵ B L *f*[1.13] 205. 579. 892. 2542 *pc* | ⸆προεφητευσαν Θ *pc* ¦ επροφ- D *pc* vg[ms] | ⸂εξ (αφ) οὗ Mcion | ⸋ℵ* G 788. 1506 *pc* | ⸆εισελθειν sy[p] ¦ *p)* και βιασται αρπαζουσιν αυτην ℵ[2] ● 17 ⸂των λογων μου Mcion ¦ [του νομ. μου Lipsius *cj*] | ⸉B

---

1 (Mt) cf Mt 10,34 || 1sq (Mt) cf Mt 7,12; 22,40 par; Lc 16,29.31; Rm 3,31; 8,4; 10,4; *cf 20.21* || 1sq (Lc) cf Act 10,37 || 3 (Lc) cf Mt 11,12 sq || 4 cf Mt 24,34 = Mc 13,30 = Lc 21,32 *(nr 293)* | cf Bar 4,1; Tob 1,6; 4 Esr 9,37; Apc Bar 77,15; Job 14,12; Is 51,6; *cf 18 sq. 24* || 8sq cf Jc 2,10; Gl 3,10 || 12sq cf Mt 11,11; Lc 7,28; Mt 18,1; Mc 9,34; Mt 18,4; Lc 9,48; Mt 20,26; Mc 10,43 || 14sqq *cf 27 sq* || 16sq cf Mt 18,3; Jo 3,5; *cf 22.26* || 18sq *cf 4 sq* || 20 *cf 1 sq (Mt)* || 21 *cf 1 sq (Mt)* || 22 *cf 16 sq* || 24 *cf 4* || 26 *cf 16 sq* || 27sq *cf 14 sqq*

## 55. Vom neuen Gesetz: Töten und Zürnen

Non occides — On Murder and Wrath

### Matth. 5,21-26

[21]Ἠκούσατε ὅτι ⸀ἐρρέθη τοῖς ἀρχαίοις· οὐ φονεύσεις· ὃς δ᾽ ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. [22]ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ ⸆ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ᾽ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ· ⸀ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ᾽ ἂν εἴπῃ·⸆ μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. [23]ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον ⸀κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, [24]ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου καὶ ὕπαγε πρῶτον ⸀διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. [25]ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ, ἕως ὅτου εἶ ⸉μετ᾽ αὐτοῦ ἐν τῇ ὁδῷ⸊, μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ ⸋καὶ ὁ κριτὴς ⸆ τῷ ὑπηρέτῃ⸌ καὶ εἰς φυλακὴν ⸀βληθήσῃ· [26]ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ⸀ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην.

### Mark. 11,25

(nr. 275 p. 374)

[25]Καὶ ὅταν στήκετε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν.

### Luk. 12,57-59

(nr. 206, p. 292)

[57]Τί δὲ καὶ ἀφ᾽ ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον; [58]ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ⸋ἐπ᾽ ἄρχοντα⸌, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ⸰ἀπ᾽ αὐτοῦ, μήποτε ⸀κατασύρῃ σε πρὸς τὸν κριτήν, καὶ ὁ κριτής σε ⸀παραδώσει τῷ πράκτορι, καὶ ὁ πράκτωρ σε ⸀¹βαλεῖ εἰς ⸆ φυλακήν. [59]λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ⸆ ⸂καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς⸃.

### Joh.

**Evang. sec. Hebraeos** (Hieronymus, Comm. in Ez. 18,7): Et in evangelio quod iuxta Hebraeos Nazaraei legere consueverunt, inter maxima ponitur crimina, qui fratris sui spiritum contristaverit. - (Comm. in Eph. 5,4): Ut in Hebraico quoque Evangelio legimus, Dominum ad discipulos loquentem: »Et nunquam«, inquit, »laeti sitis, nisi cum fratrem vestrum videritis in caritate.«

**Cod. N. T. 1424** (ad Mt 5,22): Τὸ »εἰκῆ« ἔν τισιν ἀντιγράφοις οὐ κεῖται οὐδὲ ἐν τῷ Ἰουδαϊκῷ.

**Ignatius ad Trall. 8,2:** Μηδεὶς ὑμῶν κατὰ τοῦ πλησίον ἐχέτω. μὴ ἀφορμὰς δίδοτε τοῖς ἔθνεσιν, ἵνα μὴ δι᾽ ὀλίγους ἄφρονας τὸ ἐν θεῷ πλῆθος βλασφημῆται. Οὐαὶ γάρ, δι᾽ οὗ ἐπὶ ματαιότητι τὸ ὄνομά μου ἐπί τινων βλασφημεῖται.

**Didache 2,1–5; 14,2; 15,3:** 2 [1]Δευτέρα δὲ ἐντολὴ τῆς διδαχῆς· [2]»οὐ φονεύσεις, οὐ μοιχεύσεις«, οὐ παιδοφθορήσεις, οὐ πορνεύσεις, οὐ κλέψεις, οὐ μαγεύσεις, οὐ φαρμακεύσεις, οὐ φονεύσεις τέκνον ἐν φθορᾷ οὐδὲ γεννηθὲν ἀποκτενεῖς. [3]οὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον, οὐκ ἐπιορκήσεις, οὐ ψευδομαρτυρήσεις, οὐ κακολογήσεις, οὐ μνησικακήσεις. [4]οὐκ ἔσῃ διγνώμων οὐδὲ δίγλωσσος· παγὶς γὰρ θανάτου ἡ διγλωσσία. [5]οὐκ ἔσται ὁ λόγος σου ψευδής, οὐ κενός, ἀλλὰ μεμεστωμένος πράξει. 14 [2]Πᾶς δὲ ἔχων τὴν ἀμφιβολίαν μετὰ τοῦ ἑταίρου αὐτοῦ μὴ συνελθέτω ὑμῖν, ἕως οὗ διαλλαγῶσιν, ἵνα μὴ κοινωθῇ ἡ θυσία ὑμῶν. 15 [3]Ἐλέγχετε δὲ ἀλλήλους μὴ ἐν ὀργῇ, ἀλλ᾽ ἐν εἰρήνῃ ὡς ἔχετε ἐν τῷ εὐαγγελίῳ· καὶ παντὶ ἀστοχοῦντι κατὰ τοῦ ἑτέρου μηδεὶς λαλείτω μηδὲ παρ᾽ ὑμῶν ἀκουέτω, ἕως οὗ μετανοήσῃ.

---

**Matth.:** **21** ⸀ερρηθη B D E Θ 565. 579. 1424 *al* ● **22** ⸆εικη ℵ² D L W Θ *f*1.13 33. 892. 1006. 1342. 1506 𝔐 it sy co; Ir^lat Or^pt Cyp Cyr ¦ *txt* 𝔓⁶⁴ ℵ* B *pc* aur vg; Ju Or^pt Hier^mss | ⸀ραχα ℵ* D W mae | ⸆τω αδελφω αυτω L Θ 0233 *f*1.13 205. 700. 1006. 1506 *pc* ff¹ sy^s.c bo; Cyp ● **23** ⸀και εκει D Θ *f*¹ 1006 [E 205. 565] 𝔐 ● **24** ⸀καταλλ- D ● **25** ⸉ *3–5 1 2* Θ 1006. 1342. 1506 𝔐 lat sy^h sa^mss mae ¦ *txt* ℵ B D L W 0275 *f*1.13 33. 205. 892 *pc* it sy^s.c.p sa^mss bo^pt | ⸋sy^s | ⸆*p)* σε παραδω (D) L W Θ 33. 1006. 1342. 1506 𝔐 lat sy^c.p.h co ¦ txt 𝔓⁶⁴ ℵ B 0275 *f*1.13 205. 892 *pc* k | ⸀-θησει D Θ 1424 *pc* ● **26** ⸀ου L W (0233). 1424 *al* ¦ – 33 *pc*

**Luk.:** **58** ⸋q sa | ⸰B 892 *pc*; Cl | ⸀κατακρινη D it sy^s.c | ⸀-δω L W Ψ *f*¹ 33. 892. 1006. 1342. 1506 [E G H Δ 205. 565. 579. 700. 1424] 𝔐 (lat) ¦ *txt*, *sed* ⸉π. σε 𝔓⁴⁵ D *pc* | ⸀¹βαλη A L W Θ Ψ *f*1.13 1342. 1506 [E G H Δ 700. 1424] 𝔐 (lat) ¦ *txt*, *sed* ⸉βαλει σε D (69) *pc* (e) i | ⸆την 𝔓⁴⁵ 700. 1006. 2542 *pc* ● **59** ⸆ου (A) D W Ψ *f*¹³ 33. 1006. 1342. 1506 𝔐 ¦ αν Θ 070 ¦ *txt* 𝔓⁷⁵ ℵ B L *f*¹ 892 *pc* | ⸂*p)* αποδοις τον εσχ. κοδραντην D it vg^mss; Mcion

---

1sqq Ex 20,13 (Ex 21,12; Lv 24,17; Nu 35,16sqq; Dt 5,18); *cf 37sq* || 2sq cf Mc 3,29; Mt 26,66 etc; *cf 29sq* || 3sqq *cf 44sq; cf et ad 8sqq* || 4sqq cf Eph 4,26; Jo 1,19sq; 4,2; 1Jo 3,15; *cf 33sq* || 5sqq cf Dt 17,8sqq; Dn 7,10; Mt 10,17; Mc 13,9; *cf 26* || 8sqq *cf 24sq. 27sq. 32sq. 35sqq. 44; cf et 3sqq* | cf Hos 6,6; Mt 9,13; 12,7; Sir 31,21; 32,1sqq; *cf 25* || 14(Lc) cf Act 4,19 || 15sqq *cf 41sq* || 21sq cf Mt 18,30 || 24sq *cf 8sqq* || 26 *cf 5* || 27sq *cf 8sqq* || 29sq *cf 2sq* || 32sq *cf 8sqq* || 33sq *cf 4sqq*

**Barn. ep. 19,4–6:** [4] Οὐ πορνεύσεις, οὐ μοιχεύσεις, οὐ παιδοφθορήσεις. οὐ μή σου ὁ λόγος τοῦ θεοῦ ἐξέλθῃ ἐν ἀκαθαρσίᾳ τινῶν. οὐ λήμψῃ πρόσωπον ἐλέγξαι τινὰ ἐπὶ παραπτώματι. ἔσῃ πραΰς, ἔσῃ ἡσύχιος, ἔσῃ τρέμων τοὺς λόγους, οὓς ἤκουσας. οὐ μνησικακήσεις τῷ ἀδελφῷ σου. [5] οὐ μὴ διψυχήσῃς, πότερον ἔσται ἢ οὔ. οὐ μὴ λάβῃς ἐπὶ ματαίῳ τὸ ὄνομα κυρίου. ἀγαπήσεις τὸν πλησίον σου ὑπὲρ τὴν ψυχήν σου. οὐ φονεύσεις τέκνον ἐν φθορᾷ, οὐδὲ πάλιν γεννηθὲν ἀποκτενεῖς. οὐ μὴ ἄρῃς τὴν χεῖρά σου ἀπὸ τοῦ υἱοῦ σου ἢ ἀπὸ τῆς θυγατρός σου, ἀλλὰ ἀπὸ νεότητος διδάξεις φόβον θεοῦ. [6] οὐ μὴ γένῃ ἐπιθυμῶν τὰ τοῦ πλησίον σου, οὐ μὴ γένῃ πλεονέκτης. οὐδὲ κολληθήσῃ ἐκ ψυχῆς σου μετὰ ὑψηλῶν, ἀλλὰ μετὰ ταπεινῶν καὶ δικαίων ἀναστραφήσῃ. τὰ συμβαίνοντά σοι ἐνεργήματα ὡς ἀγαθὰ προσδέξῃ, εἰδώς, ὅτι ἄνευ θεοῦ οὐδὲν γίνεται.

**Herm. Pastor, Sim. IX, 28,7:** Ταῦτα ὑμῖν λέγω τοῖς διστάζουσι περὶ ἀρνήσεως ἢ ὁμολογήσεως· ὁμολογεῖτε ὅτι κύριον ἔχετε, μήποτε ἀρνούμενοι [πα]ραδοθ[ήσησθε] εἰς δεσμωτήριον.

**Justinus Mart., Apol. I,16,1–2:** [1] Περὶ δὲ τοῦ ἀνεξικάκους εἶναι καὶ ὑπηρετικοὺς πᾶσι καὶ ἀοργήτους ἃ ἔφη ταῦτά ἐστι· »Τῷ τύπτοντί σου τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην, καὶ τὸν αἴροντά σου τὸν χιτῶνα ἢ τὸ ἱμάτιον μὴ κωλύσῃς. [2] Ὃς δ᾽ ἂν ὀργισθῇ, ἔνοχός ἐστιν εἰς τὸ πῦρ. Παντὶ δὲ ἀγγαρεύοντί σε μίλιον ἀκολούθησον δύο. Λαμψάτω δὲ ὑμῶν τὰ καλὰ ἔργα ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα βλέποντες θαυμάζωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς«.

---

*35 sqq* cf *8 sqq* || *37 sq* cf *1 sqq* || *41 sq* cf *15 sqq* || *44* cf *3 sqq. 8 sqq*

## 56. Von Ehebruch und Ehescheidung

Non moechaberis — On Adultery and Divorce

| Matth. 5,27-32 (18,8-9; 19,7.9) | Mark. 9,43-48 (10,3-4.11-12) | Luk. 16,18 | Joh. |
|---|---|---|---|
| [27] Ἠκούσατε ὅτι ἐρρέθη⸆· οὐ μοιχεύσεις. [28] ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι ⸀αὐτὴν ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ ⸀αὐτοῦ. [29] εἰ δὲ ὁ ὀφθαλμός ⸉σου ὁ δεξιὸς⸊ σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου ⸀βληθῇ εἰς γέενναν. [30] ⸋καὶ εἰ ⸂ἡ δεξιά σου χεὶρ⸃ σκανδαλίζει σε, ⸀ἔκκοψον αὐτὴν καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου ⸂καὶ μὴ⸃ ὅλον τὸ σῶμά σου ⸂¹εἰς γέενναν ἀπέλθῃ⸃.⸌ | cf. v. 47. 48<br><br>9,43-48 *(nr. 168, p. 249)*<br>[43] Καὶ ἐὰν ⸀σκανδαλίζῃ σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν ⸆ · καλόν ⸂ἐστίν σε⸃ κυλλὸν εἰσελθεῖν εἰς τὴν ζωὴν ἢ °τὰς δύο χεῖρας ἔχοντα ⸂¹ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον⸃ ⸆[44]. | · | |
| 18,8-9 *(nr. 168, p. 249)*<br>[8] Εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν κυλλὸν ἢ χωλὸν ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον. [9] καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· καλόν σοί ἐστιν | [45] καὶ ἐὰν ὁ πούς σου ⸀σκανδαλίζῃ σε, ⸀ἀπόκοψον αὐτόν ⸆ · καλόν ⸆ ἐστίν σε ⸉εἰσελθεῖν εἰς τὴν ζωὴν ⸆¹ χωλὸν ἢ τοὺς δύο πόδας ἔχοντα ⸀¹βληθῆναι εἰς τὴν γέενναν⸆² ⸆³[46]. [47] καὶ ⸀ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ⸋ἔκβαλε αὐτόν⸌· καλόν ⸀σέ ἐστιν | | |

---

**Matth.:** 27 ⸆(5,21.33) τοις αρχαιοις L Δ Θ 0233 *f*[13] 33. 579. 892 *pm* lat sy[c.h**]; Ir Or[pt] Eus Cyr • **28** ⸀αυτης ℵ[1] *f*[1] 205. 1506 *al* ¦ – 𝔓[64] ℵ* *pc*; Tert Cl Cyr ¦ ⸀εαυτου B • **29** ⸉ *2 3 1* D | ⸀απελθη D 700[ms] it sy[s.c] (mae) bo • **30** ⸋ *vs* D *pc* vg[ms] sy[s] bo[ms] ¦ ⸂ η χειρ σου η δεξ. (Θ) *f*[13] | ⸀κοψον W Δ | ⸂ ἢ ℵ* mae | ⸂¹ βληθη εις γεεν. (L) W Θ *f*[13] 1006. 1342. 1506 𝔐 f vg[ms] sy[(p).h] sa ¦ *txt* ℵ B *f*[1] 33. 205. 892 *pc* (lat) sy[c] (mae) bo

**Mark.:** 43 ⸀-ιση ℵ B L W Δ Ψ 205. 579. 892. 1342. 1506. 2427 *pc* | ⸆*p)* και βαλε αυτην απο σου b bo[ms] | ⸂*p)* σοι εστιν A (⸉D) W *f*[1] 1006. 1506 [E F G H 205. 2542] 𝔐 | °D Ψ sa bo[pt] | ⸂ *1–4* ℵ[1] L Δ Ψ 0274. 700. 892 *pc* sy[p] ¦ *1 5–9* W *f*[1.13] 205 *pc* sy[s] ¦ βληθηναι εις την γεεν. οπου εστιν το πυρ ασβ. D k (a f) ¦ εισελθειν *2–9* ℵ* (r[1]) ¦ *txt* ℵ[2] A B C Θ 1006. 1342. 1506. 2427 𝔐 aur l vg (sy[h]) (sa) bo[(mss)] | ⸆[44] (Is 66,24) οπου ο σκωληξ αυτων ου τελευτα και το πυρ ου σβεννυται A D Θ *f*[13] 1006. 1342. 1506 𝔐 lat sy[p.h]; Bas ¦ *txt* ℵ B C L W Δ Ψ 0274 *f*[1] 205. 565. 892. 2427 *pc* k sy[s] co • **45** ⸀-ζει ℵ Θ 0274. 565. 1342. 1424 *pc* | ⸀κοψον W | ⸆(Mt 18,8) και βαλε αυτον απο σου (sy[s]) bo[mss] | ⸆γαρ A *al* c sy[s] sa[mss] bo[pt] ¦ σοι (*et om.* σε) D W 205. 1506 *al* | ⸉*p.* ζωην ℵ F *al* | ⸆[1]αιωνιον D lat ¦ ⸀[1]απελθειν W *f*[1] 205 *pc* sy[s] ¦ βλ. *p.* γεενναν ℵ | ⸆[2]εις το πυρ το ασβεστον A D Θ *f*[13] 1006. 1506 𝔐 (lat) (sy[h]) ¦ *txt* ℵ B C L W Δ Ψ 0274 *f*[1] 205. 892. 1342. 2427 *pc* b k sy[s.p] co | ⸆[3][46] *ut* **44** • **47** ⸀ει W (*sed* ⸉*p.* σου D) | ⸋sa[mss] | ⸀σοι A C D *f*[1] 1006. 1506 [E F G H 205. (565. 700)] 𝔐 ¦ – W 892 *pc*

---

[1] Ex 20,14; Dt 5,17; cf *41* || *2 sq* cf Ex 20,17; Dt 5,21; Job 31,1; Sir 9,5.8; cf *43 sq* || *3 sqq* cf Kol 3,5; cf *14 sqq. 44 sq* || *7 sq* cf Dt 25,11sq || *10* cf Mt 3,12; Lc 3,17; Is 66,24 || *14 sqq* cf *3 sqq. 44 sq*

ἀφανίζει«. 13 Καί· »Γίνεσθε δὲ χρηστοὶ καὶ οἰκτίρμονες, ὡς καὶ ὁ πατὴρ ὑμῶν χρηστός ἐστι καὶ οἰκτίρμων, καὶ τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ ἁμαρτωλοὺς καὶ δικαίους καὶ πονηρούς«.

–, **Dial. 96,3:** Οὗτος (Christus) γὰρ ἐδίδαξεν ἡμᾶς καὶ ὑπὲρ τῶν ἐχθρῶν εὔχεσθαι, εἰπών· »Γίνεσθε χρηστοὶ καὶ οἰκτίρμονες, ὡς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος«. καὶ γὰρ τὸν παντοκράτορα θεὸν χρηστὸν καὶ οἰκτίρμονα ὁρῶμεν, »τὸν ἥλιον αὐτοῦ ἀνατέλλοντα ἐπὶ ἀχαρίστους καὶ δικαίους, καὶ βρέχοντα ἐπὶ ὁσίους καὶ πονηρούς«, οὓς πάντας ὅτι καὶ κρίνειν μέλλει ἐδίδαξεν.

**Evang. Thomae copt.:** *cf. Append. I, 95*

---

*49sq cf 6 sqq. 17 sqq* || *51 cf 4 sq* || *51sq cf 18 sq (Lc)* || *52sq cf 6 sqq* || *54 cf 12 sqq*

## 60. Vom Almosengeben

De eleemosyna — On Almsgiving

| Matth. 6,1-4 | Mark. | Luk. | Joh. |
|---|---|---|---|
| 1 Προσέχετε °[δὲ] τὴν ⸀δικαιοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν °¹τοῖς οὐρανοῖς. 2 ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων· ἀμὴν ⸆ λέγω ὑμῖν, ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. 3 σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, 4 ὅπως ⸉ᾖ σου ἡ ἐλεημοσύνη⸊ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ⸆ ἀποδώσει σοι⸆. | | | |

**Pap. Oxyrhynch. 654, nr. 5** (sec. Fitzmyer): [Ἐξ]ετάζουσιν αὐτὸν ο[ἱ μαθηταὶ αὐτοῦ καὶ λέ]γουσιν· πῶς νηστεύ[σομεν, καὶ πῶς προσευξό]μεθα καὶ πῶς [ἐλεημοσύνην ποιήσομεν, κ]αὶ τί παρατηρήσ[ομεν ὅταν δειπνῶμε]ν; λέγει Ἰη(σοῦ)ς· [μὴ ψεύδεσθε καὶ ὅ τι μισ]εῖται μὴ ποιεῖτ[ε· πάντα γὰρ ἔσται πλήρ]ης ἀληθείας ἀν[τὶ τοῦ οὐρανοῦ· οὐδὲν γάρ ἐστι]ν ἀ[π]οκεκρ[υμμένον ὃ οὐ φανερὸν ἔσται· μα]κάρι[ός] ἐστιν [ὁ ταῦτα μὴ ποιῶν. πάντα γὰρ ἐν φανερ]ῷ ἔστ[αι παρὰ τῷ πατρὶ ὃς ἐν τῷ οὐρανῷ ἐστ]ιν. *(cf.* Evang. Thomae copt. *Append. I, 6)*

**Evang. Thomae copt.:** *cf. Append. I, 62*

**Justinus Mart., Apol. I, 15, 14–17:** 14 »Μὴ μεριμνᾶτε δὲ τί φάγητε ἢ τί ἐνδύσησθε. Οὐχ ὑμεῖς τῶν πετεινῶν καὶ τῶν θηρίων διαφέρετε; καὶ ὁ θεὸς τρέφει αὐτά. 15 Μὴ οὖν μεριμνήσητε τί φάγητε ἢ τί ἐνδύσησθε· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι τούτων χρείαν ἔχετε. 16 Ζητεῖτε δὲ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. Ὅπου γὰρ ὁ θησαυρός ἐστιν, ἐκεῖ καὶ ὁ νοῦς τοῦ ἀνθρώπου«. 17 Καί· »Μὴ ποιῆτε ταῦτα πρὸς τὸ θεαθῆναι ὑπὸ τῶν ἀνθρώπων· εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς«.

---

1 °B D W $f^{13}$ 1006. 1342. 1506 𝔐 lat sy^c mae bo^mss ¦ *txt* ℵ L Z Θ $f^{1}$ 33. 205. 892. 1424 *al* g^1 sy^p.h bo | ⸀*p)* ελεημοσυνην L W Z Θ $f^{13}$ 33. 1006. 1342. 1506 𝔐 f k mae; Cl Or^ms ¦ δοσιν ℵ^1 sy^c bo ¦ *txt* ℵ*.2 B D 0250 $f^{1}$ 205. 892 *pc* lat; Or^mss | °¹ℵ* D Z 0250 $f^{1}$ 33 *pc* ¦ *txt* ℵ^2 B L W Θ $f^{13}$ 892. 1006. 1342. 1506 𝔐 ● 2 ⸆αμην ℵ* 13 *pc* ● 4 ⸉ *3 2 4 1* ℵ* (33) ¦ *3 4 2 1* D | ⸆αυτος D W $f^{1}$ 𝔐 h q sy^p.h ¦ *txt* ℵ B L Z Θ 0250 $f^{13}$ 33. 205. 209. 892. 1006. 1342. 1424. 1506. 1582 *al* lat sy^s.c | ⸆εν τω φανερω L W Θ 892. 1006. 1342. 1506 𝔐 it sy^s.p.h ¦ *txt* ℵ B D Z $f^{1.13}$ 33. 205 *al* aur ff^1 k vg sy^c co

1 cf Mt 23,5; Sir 34,11; Mt 5,20 || *1sq cf 14 sq* || *2sq cf 7 sqq. 11* || 3 cf Mt 6, 5.16; 15,7; 22,18; 23,13 sqq. 23. 25. 27. 29 || 5 cf Prv 21,14; Sir 3,31(34); Mt 6,6.18 || *7sqq cf 2 sq; cf et nr 61. 63* || *11 cf 2 sq* || 12sqq Mt 6,25 sq. 32; Lc 12,22 sqq. 34 || *14sq cf 1 sq*

## 61. Vom Beten

De oratione — On Prayer

| Matth. 6,5-6 | Mark. | Luk. | Joh. |
|---|---|---|---|
| 5 ⸋Καὶ ὅταν ⸂προσεύχησθε, οὐκ ἔσεσθε⸃ ⸀ὡς οἱ ὑποκριταί, ὅτι φιλοῦσιν ⸆ ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν °ἑστῶτες προσεύχεσθαι, ὅπως ⸆ φανῶσιν τοῖς ἀνθρώποις· °¹ἀμὴν λέγω ὑμῖν, ⸆¹ ἀπέχουσιν τὸν μισθὸν αὐτῶν.⸌ 6 σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου καὶ κλείσας τὴν θύραν σου πρόσευξαι τῷ πατρί σου °τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι⸆. | | | |

**Pap. Oxyrhynch. 654, nr. 5:** *cf. nr. 60 et* **Evang. Thomae copt.** *Append. I, 6*

**Didache 8, 2:** *cf. nr. 62*

---

5 ⸋*vs* sy^s | ⸂-χη, ουκ εση (ℵ*) D L W Θ $f^{13}$ 33. 1006. 1342. 1506 𝔐 k q sy^c.p.h ¦ *txt* ℵ^2 B Z $f^{1}$ 205. 892 lat sy^hmg co | ⸀ωσπερ L W Θ $f^{1.13}$ 1006. 1342. 1506 [E Δ 205. 565. 579. 700. 1424] 𝔐 | ⸆στηναι (*sed* … εστωτες και προσευχομενοι) D it | °K | ⸆αν W Θ 1506 [E Δ 346. 565. 579. 700] 𝔐 | °¹sy^c | ⸆¹οτι L W Θ 1006. 1342. 1506 [E Δ 346. 565. 579. 1424] 𝔐 f ● 6 °D sy^s.c bo^pt | ⸆εν τω φανερω L W Θ $f^{13}$ 33^vid. 892. 1006. 1342. 1506 𝔐 it sy^p.h ¦ *txt* ℵ B D Z $f^{1}$ 205 *pc* aur ff^1 k vg sy^s.c co

*1sqq cf 5. 6* || 1sq cf Mt 23,6 sq et par *(nr 284)*; Lc 11,43 || 3sq cf Is 26,20 LXX; 2 Rg 4,33 || *5 cf 1 sqq* || *6 cf 1 sqq*

## 62. Das Vaterunser

Oratio dominica — *(cf. nr. 185)* — The Lord's Prayer

### Matth. 6,7-15
6,31-32; 18,35

7 Προσευχόμενοι δὲ μὴ βατταλογήσητε ὥσπερ οἱ ⸀ἐθνικοί, δοκοῦσιν γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. 8 μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδεν γὰρ ⸂ὁ πατὴρ ὑμῶν⸃ ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς ⸄αἰτῆσαι αὐτόν⸅.

9 οὕτως οὖν προσεύχεσθε ὑμεῖς·
Πάτερ ἡμῶν °ὁ ἐν ⸂τοῖς οὐρανοῖς⸃·
ἁγιασθήτω τὸ ὄνομά σου·
10 ἐλθέτω ἡ βασιλεία σου·
γενηθήτω τὸ θέλημά σου,
°ὡς ἐν οὐρανῷ καὶ ἐπὶ ⸆ γῆς·
11 τὸν ἄρτον ἡμῶν τὸν ⸀ἐπιούσιον δὸς ἡμῖν σήμερον·
12 καὶ ἄφες ἡμῖν ⸂τὰ ὀφειλήματα⸃ ἡμῶν,
ὡς καὶ ἡμεῖς ⸀ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν·

### Mark. 11,25.[26]

### Luk. 11,1-4
12,29-30

11,1-4 *(nr. 185, p. 267)*

1 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον,⸆ὡς ἐπαύσατο⸆, εἶπέν τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν· κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς ⸋καὶ Ἰωάννης⸌ ἐδίδαξεν τοὺς μαθητὰς αὐτοῦ. 2 εἶπεν δὲ αὐτοῖς· ὅταν ⸀προσεύχησθε ⸆ λέγετε·
Πάτερ ⸆,
ἁγιασθήτω °τὸ ὄνομά σου·
⸂ἐλθέτω ἡ βασιλεία σου⸃
⸆1 ·
3 τὸν ἄρτον ⸀ἡμῶν τὸν ἐπιούσιον ⸁δίδου ἡμῖν ⸂τὸ καθ᾽ ἡμέραν⸃·
4 καὶ ἄφες ἡμῖν ⸂τὰς ἁμαρτίας⸃ ἡμῶν,
⸄καὶ γὰρ αὐτοὶ⸅ ⸀ἀφίομεν ⸂1παντὶ ὀφείλοντι ἡμῖν⸃·

### Joh.

---

**Matth.:** 7 ⸀υποκριται B sy$^{c}$ mae ● 8 ⸂ο θεος ο π. υμ. ℵ$^{1}$ B sa mae; Or ¦ ο π. υμ. ο ουρανιος 892$^{c}$. 1424 *pc* sy$^{h}$ ¦ *txt* ℵ* D L W Θ *f*$^{(1).13}$ 33. 892*. 1006. 1342. 1506 𝔐 latt sy$^{s.c.p}$ bo | ⸄ανοιξαι το στομα D h ● 9 °ℵ* | ⸂τω ουρανω mae; Didache ● 10 °D* a b c k bo$^{mss}$; Cl Tert Cyp | ⸆της D L Θ *f*$^{13}$ 892. 1006. 1342. 1506 𝔐 ¦ *txt* ℵ B W Z Δ *f*$^{1}$ *pc* ● 11 ⸀cottidianum it vg$^{mss}$ ¦ supersubstantialem vg ¦ perpetuum sy$^{c}$ ¦ necessarium sy$^{(p).h}$ ¦ venientem sa ¦ crastinum mae bo ● 12 ⸂την οφειλην Didache ¦ τα παραπτωματα Or | ⸀αφιομεν D E (L) W Δ Θ 565 *pc* sy$^{c}$? co? ¦ αφιεμεν ℵ$^{1}$ *f*$^{13}$ 1006. 1342. 1506 𝔐 sy$^{c}$? co?; Didache Cl ¦ *txt* ℵ* B Z *f*$^{1}$ *pc* vg$^{st}$ sy$^{p.h}$; GrNy$^{pt}$

**Luk.:** 1 ⸆και D *pc* it | ⸆προσευχομενος μετα μικρον (?) sy$^{c}$ (– μ. μ. sy$^{s}$) | ⸋ℵ* ● 2 ⸀-ευχεσθε 𝔓$^{75}$ A C H W Δ Θ *f*$^{1.13}$ 33. 205. 2542 *al* | ⸆*p)* μη βαττολογειτε ως οι λοιποι· δοκουσιν γαρ τινες οτι εν τη πολυλογια αυτων εισακουσθησονται· αλλα προσευχομενοι D | ⸆*p)* ημων ο εν τοις ουρανοις A C D W Θ Ψ *f*$^{13}$ 33$^{vid}$. 892. 1006. 1506 𝔐 it sy$^{c.p.h}$ co ¦ ημων L *pc* ¦ *txt* 𝔓$^{75}$ ℵ B *f*$^{1}$ 700. 1342 *pc* aur vg sy$^{s}$; Mcion Or | °D *pc* | ⸂εφ ημας ελθ. σου η βασ. D ¦ ελθετω το πνευμα σου το αγιον εφ ημας και καθαρισατω ημας 700; (Mcion GrNy) | ⸆1*p)* γενηθητω το θελημα σου ως εν ουρανω και επι της (– ℵ* A C D W Δ Θ 69. 788. 892 *al*) γης ℵ$^{(*)}$ A C D W Θ Ψ *f*$^{13}$ 33$^{vid}$. 892. 1006. 1506 𝔐 it vg$^{s}$ sy$^{p.h}$ bo ¦ γενηθητω το θελημα σου a vg$^{mss}$ sa bo$^{mss}$ ¦ *txt* 𝔓$^{75}$ B L *f*$^{1}$ 1342 *pc* vg sy$^{s.c}$; Mcion Or ● 3 ⸀σου Mcion ¦ – 4 *pc* sy$^{s.c}$ | ⸁*p)* δος ℵ D 1506. 2542 *pc* | ⸂*p)* σημερον D 1506. 2542 *pc* it vg$^{cl}$ bo$^{mss}$; Or$^{pt}$ ● 4 ⸂*p)* τα οφειληματα D b c ff$^{2}$ vg$^{mss}$ ¦ τα αμαρτηματα *f*$^{1}$ 205 | ⸄ως και αυτοι ℵ* lat ¦ *p)* ως και ημεις D 2542 (sy$^{s.c}$) | ⸀αφιεμεν ℵ* L Θ Ξ 33. 892. 1006. 1342. 1506 𝔐 ¦ αφηκαμεν sy$^{p.h}$ ¦ *txt* 𝔓$^{75}$ ℵ$^{1}$ A B C D E G H W Δ Ψ *f*$^{1.13}$ 579 *al* | ⸂1*p)* τοις οφειλεταις ημων D 2542 it bo$^{pt}$

---

1sqq cf Sir 7,14(15); Is 1,15; Eccl 5,1; *cf 51* || 2 cf Mt 5,47 || 4sqq cf Is 65,24; Mt 7,11; *cf 34sqq* || 14-25 *cf 51-54* || 14 cf Dt 32,6; Jr 31,20 (38,20 LXX); Ml 1,6; 2,10; Ps 89,27; Sir 23,1; Sap 2,16; Is 64,7; 63,16 etc; 1 Pt 1,17 || 15 cf Ez 36,23; Is 29,23; Jo 17,6 || 17 cf Mt 26,42 par *(nr 330)*; Ps 103,20sq; *cf 50* || 19sq cf Prv 30,8; Jo 6,32; *cf 41sq* || 20(Lc) cf Lc 19,47; Act 17,11 || 21sqq cf Mt 18,21-35 *(nr 172.173)*; Sir 28,2; *cf 26sqq*

| [Matth. 6,7-15] | Mark. | [Luk. 11,1-4] | Joh. |
|---|---|---|---|
| 13 καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.⸆ 14 Ἐὰν °γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα °¹αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ ⸀οὐράνιος· 15 ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις⸆, οὐδὲ ὁ πατὴρ ⸂ὑμῶν ἀφήσει⸃ τὰ παραπτώματα ὑμῶν. | 11,25. [26] *(nr. 275, p. 374)* 25 Καὶ ὅταν ⸀στήκετε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ πατὴρ ὑμῶν ὁ ⸆ ἐν τοῖς οὐρανοῖς ⸁ἀφῇ °ὑμῖν τὰ παραπτώματα °¹ὑμῶν. ⸆[26 εἰ δὲ ὑμεῖς οὐκ ἀφίετε, οὐδὲ ὁ πατὴρ ὑμῶν ὁ ἐν °τοῖς οὐρανοῖς ἀφήσει ⸆ τὰ παραπτώματα ὑμῶν.] | καὶ μὴ ⸂εἰσενέγκῃς ἡμᾶς⸃ εἰς πειρασμόν ⸆ | |
| 6,31-32 *(nr. 67, p. 90)* 31 Μὴ οὖν μεριμνήσητε λέγοντες· τί φάγωμεν; ἤ· τί πίωμεν; ἤ· τί περιβαλώμεθα; 32 πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητοῦσιν· οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων. | | 12,29-30 *(nr. 201, p. 285)* 29 Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε καὶ τί πίητε καὶ μὴ μετεωρίζεσθε· 30 ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητοῦσιν, ὑμῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων. | |
| 18,35 *(nr. 173, p. 254)* 35 Οὕτως καὶ ὁ πατήρ μου ὁ οὐράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν. | | | |

**Evang. sec. Hebraeos** (Hieronymus, Comm. in Matth. 6,11): In evangelio quod appellatur secundum Hebraeos pro supersubstantiali pane maar repperi, quod dicitur crastinum, ut sit sensus: »Panem nostrum crastinum, id est futurum, da nobis hodie«.

**Cod. N.T. 1424** (ad Mt 6,13): Τὸ »ὅτι σοῦ ἐστιν ἡ βασιλεία« ἕως τοῦ »ἀμήν« ἔν τισιν ἀντιγράφοις οὐ κεῖται.

**1. Clem. ad Cor. 13,2:** Οὕτως γὰρ εἶπεν· »Ἐλεᾶτε ἵνα ἐλεηθῆτε· ἀφίετε, ἵνα ἀφεθῇ ὑμῖν· ὡς ποιεῖτε, οὕτω ποιηθήσεται ὑμῖν· ὡς δίδοτε, οὕτως δοθήσεται ὑμῖν· ὡς κρίνετε, οὕτως κριθήσεσθε· ὡς χρηστεύεσθε, οὕτως χρηστευθήσεται ὑμῖν· ᾧ μέτρῳ μετρεῖτε, ἐν αὐτῷ μετρηθήσεται ὑμῖν«.

**Polycarpus ad Phil. 6,2; 7,2:** 6 2 Εἰ οὖν δεόμεθα τοῦ κυρίου, ἵνα ἡμῖν ἀφῇ, ὀφείλομεν καὶ ἡμεῖς ἀφιέναι· ἀπέναντι γὰρ τῶν τοῦ κυρίου καὶ θεοῦ ἐσμεν ὀφθαλμῶν, καὶ πάντας δεῖ παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ καὶ ἕκαστον ὑπὲρ αὐτοῦ λόγον δοῦναι. 7 2 Διὸ ἀπολιπόντες τὴν ματαιότητα τῶν πολλῶν καὶ τὰς ψευδοδιδασκαλίας ἐπὶ τὸν ἐξ ἀρχῆς ἡμῖν παραδοθέντα λόγον ἐπιστρέψωμεν, νήφοντες πρὸς τὰς εὐχὰς καὶ προσκαρτεροῦντες νηστείαις, δεήσεσιν αἰτούμενοι τὸν παντεπόπτην θεὸν »μὴ εἰσενεγκεῖν ἡμᾶς εἰς πειρασμόν«, καθὼς εἶπεν ὁ κύριος· »Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής«.

**Mart. Polycarpi 7,1:** Κἀκεῖθεν δὲ ἠδύνατο εἰς ἕτερον χωρίον ἀπελθεῖν, ἀλλ' οὐκ ἐβουλήθη εἰπών· »Τὸ θέλημα τοῦ θεοῦ γενέσθω«.

**Didache 8,2-3; 10,5:** 8 2 Μηδὲ »προσεύχεσθε ὡς οἱ ὑποκριταί«, ἀλλ' ὡς ἐκέλευσεν ὁ κύριος ἐν τῷ εὐαγγελίῳ αὐτοῦ, »οὕτω προσεύχεσθε· Πάτερ ἡμῶν ὁ ἐν τῷ οὐρανῷ, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὴν ὀφειλὴν ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ«· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. 3 τρὶς τῆς ἡμέρας οὕτω προσεύχεσθε. 10 5 Μνήσθητι, κύριε, τῆς ἐκκλησίας σου τοῦ ῥύσασθαι αὐτὴν ἀπὸ παντὸς πονηροῦ καὶ τελειῶσαι αὐτὴν ἐν τῇ ἀγάπῃ σου, »καὶ σύναξον αὐτὴν ἀπὸ τῶν τεσσάρων ἀνέμων«, τὴν ἁγιασθεῖσαν, εἰς τὴν σὴν βασιλείαν, ἣν ἡτοίμασας αὐτῇ· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας.

---

Matth.: **13** ⸆αμην 17 vg^cl ¦ (1 Chr 29,11-13) οτι σου εστιν η βασιλεια και (- η β. κ. 1342 k sa; Didache) η δυναμις και (- η δ. κ. sy^c) η δοξα (- κ. η δ. k) εις τους αιωνας (+ των αιωνων 2148 *pc* k sa^mss)· αμην (- αμ. g¹ k sy^p; Didache) L W Θ *f*¹³ 33. 892. 1006. 1342. 1506 𝔐 f g¹ k q sy sa bo^pt; Didache ¦ οτι σου εστιν η βασ. του πατρος και του υιου και του αγιου πνευματος εις τους αιωνας· αμην 1253 (*pc*) ¦ *txt* ℵ B D Z 0170 *f*¹ 205 *pc* lat mae bo^pt ● **14** °D* L 788 *pc* sa^ms | °¹D | ⸀εν τοις ουρανοις Θ 700 it ¦ ουρ. τα παραπτωματα υμων L *f*¹³ *pc* lat; Bas ● **15** ⸆τα παραπτωματα αυτων B L W Θ *f*¹³ 33. 892^mg. 1006. 1342. 1506 𝔐 (b) f q sy^c.h sa bo^pt ¦ *txt* ℵ D *f*¹ 205. 892* *pc* lat sy^p mae bo^pt | ⸂υμιν αφ. ℵ *pc* ¦ υμων αφ. υμιν D *pc* it vg^cl sy^p.h ¦ αφ. υμιν c sy^c

Mark.: **25** ⸀-κητε B G W (Δ) 33. 205. 1006. 1342. 1582 *pm* ¦ στητε ℵ ¦ εστηκετε L (892) | ⸆των D | ⸁-ησει D Θ 346. 565. 700. 1506 *pc* | °Θ 565. 700. 1506 *pc* a ff² i k | °¹D | ⸆[26] *add.* A C D Θ *f*^1.13 33. 1342. 1506 𝔐 lat sy^p.h bo^pt; Cyp, *sed* °C D *f*^1.13 2542 *pc et* ⸆υμιν D *f*¹³ 2542 *al* lat sy^p bo^pt ¦ *txt* ℵ B L W Δ Ψ 205. 565. 700. 892. (1006). 2427 *pc* k l sy^c sa bo^pt

Luk.: **4** ⸂αφες ημας (εισ)ενεχθηναι Mcion | ⸆*p)* αλλα ρυσαι ημας απο του πονηρου (ℵ¹) A C D W Θ Ψ *f*¹³ 33. 892. 1006. 1506 𝔐 it vg^mss sy^c.p.h bo^pt ¦ *txt* 𝔓⁷⁵ ℵ*.² B L *f*¹ 700 *pc* vg sy^s sa bo^pt; Mcion Tert Or

---

24sq cf Mc 14,38 par *(nr 330)*; Ps 17,30 LXX; Sap 16,8; 1 Cor 10,13; Jo 17,11.15; 2 Th 3,3; 2 Tm 4,18; *cf 49* ‖ 25 cf app. crit; *cf 43. 54sq*; 2 Tm 4,18; Apc 4,11; 12,10 ‖ 26sqq cf Sir 28,2; Mt 18,21sqq; 5,25; Kol 3,13; *cf 21sqq. 44. 46* ‖ 29sqq *cf 38sqq* ‖ 34sqq *cf 4sqq* ‖ 38sqq *cf 29sqq* ‖ 41sq *cf 19sq* ‖ 43 cf app. crit. ad 25 ‖ 44 *cf 26sqq* ‖ 46 *cf 26sqq* ‖ 49 *cf 24* ‖ 50 *cf 17* ‖ 51 *cf 1sqq* ‖ 51-54 *cf 14-25* ‖ 54sq *cf 25*

## 63. Vom Fasten

**De ieiunio** **On Fasting**

| Matth. 6,16-18 | Mark. | Luk. | Joh. |
|---|---|---|---|
| [16]ᵀὍταν δὲ νηστεύητε, μὴ γίνεσθε ⸀ὡς °οἱ ὑποκριταὶ σκυθρωποί, ἀφανίζουσιν γὰρ ⸂τὰ πρόσωπα⸃ ⸀αὐτῶν ὅπως φανῶσιν τοῖς ἀνθρώποις νηστεύοντες· ἀμὴν ᵀ λέγω ὑμῖν, ᵀ¹ ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. [17]σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι, [18]⸀ὅπως μὴ φανῇς ⸉τοῖς ἀνθρώποις νηστεύων⸊ ἀλλὰ τῷ πατρί σου τῷ ἐν ⸂τῷ κρυφαίῳ⸃· καὶ ὁ πατήρ °σου ὁ βλέπων ἐν ⸂τῷ κρυφαίῳ⸃ ἀποδώσει σοι ᵀ. | | | |

**Pap. Oxyrhynch. 1, nr. 2:** Λέγει Ἰ(ησοῦ)ς· ἐὰν μὴ νηστεύσηται τὸν κόσμον, οὐ μὴ εὕρηται τὴν βασιλείαν τοῦ θ(εο)ῦ, καὶ ἐὰν μὴ σαββατίσητε τὸ σάββατον οὐκ ὄψεσθε τὸν π(ατέ)ρα. *(cf.* Evang. Thomae copt. *Append. I, 27)*

**Pap. Oxyrhynch. 654, nr. 5:** *cf. nr. 60 et* **Evang. Thomae copt.** *Append. I, 6*

**Didache 8,1:** »Αἱ δὲ νηστεῖαι« ὑμῶν μὴ ἔστωσαν μετὰ »τῶν ὑποκριτῶν«. νηστεύουσι γὰρ δευτέρᾳ σαββάτων καὶ πέμπτῃ· ὑμεῖς δὲ νηστεύσατε τετράδα καὶ παρασκευήν.

---

**16** ᵀκαι ℵ* bo^ms | ⸀ωσπερ L W Θ *f*13 33. 1006. 1342. 1506 𝔐 ¦ *txt* ℵ B D Δ *f*1 205. 892 *pc* | °ℵ* | ⸂το -ον ℵ* g1* k mae bo^ms | ⸀εαυτ- B *pc* | ᵀγαρ ℵ* bo^ms | ᵀ¹οτι L W Θ 33. 892. 1006. 1342 𝔐 lat ¦ *txt* ℵ B D 0233. 0250 *f*1.13 205. 565. 700. 1506 *al* it ● **18** ⸀ινα D bo | ⸉*3 1 2* B (k) | ⸂κρυφια *et* ⸂κρυφαιω D* ¦ *bis* τω κρυπτω L W Θ *f*13 33. 892. 1006. 1342. 1506 𝔐 ¦ *txt* ℵ B Dc *f*1 *pc* | °ℵ* E* Δ *pc* syc | ᵀ(4.6 *v. l.*) εν τω φανερω E Δ 0233. 205. 346. 543. 579. 788c. 1342 *pm* it

---

νηστεύειν, νηστεία: Lc 18,12; Mt 9,14a; Mc 2,18a; Lc 5,33a; Mt 11,18; Lc 7,33 | Mt 4,2; 9,15a; Mc 2,20; [Mt 17,21]; Mc 9,29; Lc 2,37; Act 13,2sq; 14,23; 2Cor 6,5; 11,27 | Mc 2,19; Mt 9,15b; 11,19; Lc 7,34; Mt 9,14b; Mc 2,18b; Lc 5,33b || *1sq* cf Is 58,5-9; *cf 5sq. 7* || *1* cf Gn 40,7; Sir 25,23; Dn 1,10; Lc 24,17 | Jr 14,4; 2Sm 15,30; 19,4; *cf 8sq* || *3* cf 2Sm 14,2; 12,20; Eccl 9,8; Mc 14,3; Test XII patr Jos 3,3f. || *5sq cf 1sq* || *7 cf 1sq* || *8sq cf 1*

## 64. Vom Schätzesammeln

*(cf. nr. 202)*

**De thesaurizando** **On Treasures**

| Matth. 6,19-21<br>19,21 | Mark. 10,21 | Luk. 12,33-34<br>16,9; 18,22 | Joh. |
|---|---|---|---|
| [19]Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ⸀ἀφανίζει καὶ ὅπου κλέπται διορύσσουσιν καὶ κλέπτουσιν· [20]θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει καὶ ὅπου κλέπται οὐ διορύσσουσιν ⸂οὐδὲ κλέπτουσιν⸃· [21]ὅπου γάρ ἐστιν ὁ θησαυρός ⸀σου, ἐκεῖ ἔσται °καὶ ἡ καρδία ⸀σου. | | 12,33-34 *(nr. 202, p. 287)*<br>(cf. v. 33)<br>[33]Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν καὶ δότε ἐλεημοσύνην· ποιήσατε ἑαυτοῖς βαλλάντια μὴ παλαιούμενα, ᵀ θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει οὐδὲ σὴς ⸀διαφθείρει· [34]ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ⸉καὶ ἡ καρδία ὑμῶν ἔσται⸊. | |

---

**Matth.:** **19** ⸀-ζουσιν D* f g1 k ● **20** ⸂και κλ. ℵ *f*1 205 *pc* it syc ¦ - W k ● **21** ⸀*p) bis* υμων L W Θ *f*1.13 33. 892. 1006. 1342. 1506 𝔐 f sy bo^pt ¦ *txt* ℵ B | °B bo^ms
**Luk.:** **33** ᵀκαι sy^s.c.p sa bo^mss | ⸀-φθερει D Δ ● **34** ⸉*5 1-4* D *pc* sa^ms bo

---

*1sqq* cf Lc 12,16-21; *cf 21sq* || *2* cf Is 51,8; Jc 5,2 | Ml 3,11 LXX; Jc 5,3; Sir 29,10 || *3* cf Ez 12,5; Job 24,16 || *4sqq* cf Mt 10,9; Lc 10,4; 11,41; Mt 5,12; Sir 29,11(14); Tob 4,9; Ps Sal 9,5; Hen 38,2; 1Tm 6,19; *cf 12sqq. 15sqq. 21sq. 23sq. 28* || *10sq cf 26*

| Matth. | Mark. | Luk. | Joh. |
|---|---|---|---|
| | | 16, 9 *(nr. 222, p. 307)* | |
| | | 9 Καὶ ἐγὼ ὑμῖν λέγω, ἑαυτοῖς ποιήσατε φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλίπῃ δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. | |
| 19, 21 *(nr. 254, p. 338)* | 10, 21 *(nr. 254, p. 338)* | 18, 22 *(nr. 254, p. 338)* | |
| 21 Ἔφη αὐτῷ ὁ Ἰησοῦς· εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς [τοῖς] πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι. | 21 Ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ ἠγάπησεν αὐτὸν καὶ εἶπεν αὐτῷ· ἕν σε ὑστερεῖ· ὕπαγε, ὅσα ἔχεις πώλησον καὶ δὸς [τοῖς] πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι. | 22 Ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· ἔτι ἕν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον καὶ διάδος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν [τοῖς] οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι. | |

